eul_wid: dxy-ab

*Φερεκράτης ὁ Κωμικός* · Pherecrates the Comic Poet

# Fragments on Gluttony and Slaves

*Ἀποσπάσματα περὶ Λαιμαργίας καὶ Δούλων*

**Period:** *Κλασική* Classical
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 [spk_β]Ἐγὼ κατεσθίω μόλις τῆς ἡμέρας πένθ' ἡμιμέδιμν', ἐὰν βιάζωμαι. Β. μόλις ὡς ὀλιγόσιτος ἦσθ' ἄρ', ὃς κατεσθίεις τῆς ἡμέρας μακρᾶς

book 1.2 τριήρους

book 1.3 σιτία.

book 2.1 Λουσάμενοι δὲ πρὸ λαμπρᾶς ἡμέρας ἐν

book 2.2 τοῖς

book 2.3 στεφανώμασιν, οἱ δ' ἐν τῷ μύρῳ λαλεῖτε

book 2.4 περὶ σισυμβρίων κοσμοσανδάλων

book 2.5 τε.

book 1.1 Οὐ γὰρ ἦν τότ' οὔτε Μάνης οὔτε

book 1.2 σηκὶς οὐδενὶ δοῦλος, ἀλλ' αὐτὰς ἔδει μοχθεῖν ἅπαντ' ἐν οἰκίᾳ· εἶτα

book 1.3 πρὸς

book 1.4 τούτοισιν ἤλουν ὄρθριαι τὰ σιτία, ὥστε τὴν κώμην ὑπηχεῖν θιγγανουσῶν τὰς μύλας.

book 2.1 Ἐνθρύσκοισι καὶ βρακάνοις καὶ στραβήλοις ζῆν· ὁπόταν δ' ἤδη

book 2.2 πεινῶσι

book 2.3 σφόδρα, ὡσπερεὶ τοὺς

book 2.4 πουλύποδας[ln_5]* * * νύκτωρ

book 2.5 περιτρώγειν αὑτῶν

book 2.6 τοὺς δακτύλους.

book 3.1 Μὴ θαυμάσῃς· τῶν γὰρ

book 3.2 προτενθῶν ἐσμεν· ἀλλ' οὐκ οἶσθα σύ.

book 4 [spk_β]Φέρ' ἴδω, κιθαρῳδὸς τίς κάκιστος ἐγένετο; Β. ὁ Πεισίου Μέλης. Α. μετὰ τὸν Μέλητα δ' ἦν — Α. ἔχ' ἀτρέμ', ἐγᾦδα· Χαῖρις.

book 5.1 Οἶμαι δ' αὐτὸν κινδυνεύειν εἰς τὴν Αἴγυπτον * * * οἴκους λέξεις, ἵνα μὴ ξυνέχῃ τοῖσι Λυκούργου

book 5.2

πατριώταις.

book 6.1 Ὁ δὲ δὴ δελφίς ἐστι μολιβδοῦς δελφινοφόρος

book 6.2 τε κεροῦχος, ὃς διακόψει

book 6.3 τοὔδαφος αὐτῶν ἐμπίπτων καὶ καταδύων.

book 8 Πρὶν ἀνακυκῆσαι τὰς ἀπίους ἁρπάζετε.

book 9 [spk_β]Οὐδ’ ἀποπροσωπίζεσθε κυάμοις; Β. πώμαλα.

book 11.1 Ἦ μὴν σὺ σαυτὸν μακαριεῖς, ὦ τᾶν, ὅταν οὗτοί σε κατορύττωσιν. Β. οὐ δῆτ’· ἀλλ’ ἐγὼ τούτους

book 11.2 πρότερον· οὗτοι δὲ μακαριοῦσί με. καίτοι πόθεν ληνοὺς

book 11.3 τοσαύτας λήψομαι;

book 1.1 Ὅτε

book 1.2 τοῖσι θεοῖς θύετε

book 1.3 πρώτιστ’ ἀποκρίνετε * * * τὸ νομιζόμενον * * * ὑμῶν, αἰσχύνη τὸ κατειπεῖν, οὐ τὼ μηρὼ περιλάψαντες μέχρι βουβώνων * * * καὶ τὴν ὀσφὺν κομιδῇ ψιλήν, λοιπὸν τὸν

book 1.4 σφόνδυλον αὐτὸν[ln_5]ὥσπερ ῥινήσαντες ἐνέμεθ’ ὥσπερ καὶ τοῖς κυσὶν ἡμῖν; εἶτ’ ἀλλήλους αἰσχυνόμενοι θυλήμασι κρύπτετε

book 1.5 πολλοῖς;

book 2.1 Νὴ τὴν Δήμητρ’, ἀνιαρόν γ’ ἦν τὸ κακῶς ᾄδοντος[ln_1]ἀκούειν· βουλοίμην γὰρ κἂν ἀκαλήφαις τὸν ἴσον

book 2.2 χρόνον ἐστεφα-[ln_2]νῶσθαι.

book 3 Οὗτοι γὰρ ἡμῖν οἱ κακῶς ἀπολούμενοι ἐπαμφοτερίζους’ ἐμποδὼν καθήμενοι.

book 4.1 Ἡ γυνὴ δ’ ἡμῶν ἑκάστῳ λέκιθον ἕψους’ ἢ φακῆν ἀναμένει καὶ σμικρὸν ὀπτῶσ’ ὀρφανὸν

book 4.2 ταρίχιον.

book 5.1 Τοὐψάριον

book 5.2 τουτὶ παρέθηκέ τις ἡμῖν.

book 6 Οὐ γαλαθηνὸν ἄρ’ ὗν θύειν μέλλεις.

book 7.1 Ὥσπερ τῶν αἰγιδίων ὄζειν ἐκ

book 7.2 τοῦ στόματος μελικήρας.

book 8.1 Ὁπόταν

book 8.2 σχολάζῃς, νεῖψον, ἵνα τὰ λήϊα

book 8.3 συγκαρκινωθῇ.

book 9.1 Πίνειν ἀεὶ καὶ μεθύειν

book 9.2 πρὶν ἀγορὰν

book 9.3 πεπληθέναι.

book 10 Ἀτραπίζοντες τὰς ἁρμονίας διὰ πασῶν.

book 12 Ὑμεῖς γὰρ ἀεὶ στραγγαλίδας ἐσφίγγετε.

book 1.1 [spk_β]Σὺ δ’ οὐδὲ θᾶσσον, Σμικυθίων, ἐπισιτιεῖ. Β. τίς δ’ οὗτος ὑμῖν ἔστι; Α. τοῦτον

book 1.2 πανταχοῦ ἄγω λαρυγγικόν

book 1.3 τιν’ ἐπὶ μισθῷ ξένον.

book 2.1 Ἀπόπεμψον ἀγγέλλοντα τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 2.2 περιστερόν.

book 3 Εὐθὺς γὰρ ὡς ἐβαδίζομεν ἐν Ἄγρας.

book 4-5.1 Ἀθηναίαις αὐταῖς

book 4-5.2 τε καὶ ταῖς ξυμμάχοις. Πάλιν αὖθις ἀναθύουσιν αἱ γεραίτεραι.

book 1.1 [spk_β]Ὡς

book 1.2 παρασκευάζεται δεῖπνον πῶς ἂν εἴπαθ’ ἡμῖν. Β. καὶ δῆθ’ ὑπάρχει τέμαχος ἐγχέλειον ὑμῖν, τευθίς, ἄρνειον κρέας, φύσκης τόμος,[ln_5]ποὺς ἑφθός, ἧπαρ, πλευρὸν, ὀρνίθεια

book 1.3 πλήθει

book 1.4 πολλά, τυρὸς ἐν μέλιτι, μερὶς κρεῶν.

book 2 Κίθαρος γεγενῆσθαι κἀγοράζειν κίθαρος ὤν. Β. ἀγαθόν γ’ ὁ κίθαρος· καὶ πρὸς Ἀπόλλωνος πάνυ ἐκεῖνο θράττει μ’, ὅτι λέγουσιν, ὦ ’γαθή, ἔνεστιν ἐν κιθάρῳ τι κακόν.

book 3 Γαλαθήν’ ἔκλεπτον οὐ τέλεα.

book 4 Νυνὶ δ’ ἀπονίζων τὴν κύλικα δὸς ἐμπιεῖν, ἔγχει τ’ ἐπιθεὶς τὸν ἠθμόν.

book 5.1 Ἄνυσόν

book 5.2 ποτ’ ἐξελθών, σκότος γὰρ γίγνεται, καὶ τὸν λυχνοῦχον ἔκφερ’ ἐνθεὶς τὸν λύχνον

book 6 Κἀναψηφίσασθ’ ἀποδοῦναι πάλιν τὰ χρυσία.

book 7.1 Ταχὺ τῶν ἐρίων καὶ τῶν ἀνθῶν τῶν

book 7.2 παντοδαπῶν κα-[ln_1]τάγωμεν.

book 8 Οὐκ ἀπολιβάζω καὶ τριγώνους καὶ λύρας.

book 9.1 Ἀντ’ ἀστραγάλων κονδύλοισι

book 9.2 παίζετε.

book 1.1 Ὦλεν ὀβελίαν

book 1.2 σποδεῖν, ἄρτου δὲ μὴ προτιμᾶν.

book 2.1 Τοῖς

book 2.2 σοῖσι

book 2.3 συνὼν κορακινιδίοις καὶ μαινιδίοις.

book 3.1 Συσκευασάμενος δεῖπνον, ἓν τὸ σπυρίδιον, ἐβάδιζεν ὡς

book 3.2 πρὸς Ὠφέλην.

book 4.1 Κἂν μὲν

book 4.2 σιωπῶ, φέρεται, πνίγεται, καί φησι, τί σιωπᾶς; ἐὰν δέ γ’ ἀποκριθῶ, οἴμοι τάλας, φησίν, χαράδρα κατελήλυθεν.

book 7 Τὸν ἱδρῶτα καὶ τὴν ἄρδαν ἀπ’ ἐμοῦ σπόγγισον.

book 1.1 Κᾆτα μυροπωλεῖν τί μαθόντ’ ἄνδρ’ ἐχρῆν καθήμενον ὑψηλῶς ὑπὸ σκιαδείῳ, κατεσκευασμένον

book 1.2 συνέδριον

book 1.3 τοῖς μειρακίοις ἐλάλει δι’ ἡμέρας;[ln_3]* * * Αὐτίκ’ οὐδεὶς οὐδὲ μαγείραιναν εἶδε πώποτε, [ln_5]οὐ μὴν οὐδ’ ἰχθυοπώλαιναν.

book 2.1 Οὐχ ὁρᾷς τὴν οἰκίαν τὴν

book 2.2 Πουλυτίωνος κειμένην ὑπώβολον.

book 3 Ὑποζυγίοις ἀλοάσαντ’ εὐθὺς ἐκποιῆσαι.

book 4 Τί οὐκ ἐπανεχώρησα δεῦρο κἀπέδραν;

book 5.1 Ἀνέπλησα τὠφθαλμὼ πάλης

book 5.2 φυσῶν τὸ πῦρ.

book 6 Ὅδ’ ἔστ’ ἐφ’ οὗ πότ’ ἦν ὁ πυρὸς ἄξιος.

book 7 Ἤδη μὲν ᾦαν λουμένῳ προζώννυται.

book 8.1 Σκηνὴ περίερκτος

book 8.2 περιβόλοις κάνναισι.

book 1.1 [spk_β]Φέρε δὴ κατακλινῶ· σὺ δὲ τράπεζαν εἴσφερε, καὶ κύλικα κἀντραγεῖν, ἵν’ ἥδιον πίω. Β. ἰδοὺ κύλιξ

book 1.2 σοι καὶ τράπεζα καὶ φακοί. Α. μή μοι

book 1.3 φακούς, μὰ τὸν Δί’, οὐ γὰρ ἥδομαι.[ln_5]ἢν γὰρ

book 1.4 τράγῃ τις, τοῦ στόματος ὄζει κακόν.

book 2.1 Ἀλλ’ ἰσχάδας μοι

book 2.2 πρόελε τῶν

book 2.3 πεφωγμένων.[ln_1]* * * * Οὐκ ἰσχάδας οἴσεις τῶν μελαινῶν; μανθάνεις; ἐν

book 2.4 τοῖς Μαριανδυνοῖς ἐκείνοις βαρβάροις χύτρας καλοῦσι τὰς μελαίνας ἰσχάδας.

book 3.1 [spk_β]Ἐκ

book 3.2 τοῦ βαλανείου γὰρ δίεφθος ἔρχομαι, ξηρὰν ἔχουσα τὴν φάρυγα. Β. δώσω

book 3.3 πιεῖν.

book 3.1 [spk_α]Α. γλίσχρον

book 3.2 τε μοὐστὶ τὸ σίαλον νὴ τὼ θεώ. Β. εἰ λάβω κυρίσοι τὴν κοτυλίσκην; Α. μηδαμῶς[ln_5]μικράν γε. κινεῖται γὰρ εὐθύς μοι

book 3.3 χολή, ἐξ οὗπερ ἔπιον ἐκ

book 3.4 τοιαύτης φάρμακον. εἰς τὴν ἐμὴν νῦν ἔγχεον τὴν μείζονα.

book 4.1 [spk_β]Ἄποτ’ ἔστ’, ὦ Γλύκη, Β. ὑδαρῆ ’νέχεέν

book 4.2 σοι; Α. παντάπασι μὲν οὖν ὕδωρ. Β. τί εἰργάσω; πῶς ὦ κατάρατε δ’ ἐνέχεας; Γ. δύ’ ὕδατος, ὦ μάμμη. Β. τί δ’ οἴνου; Γ. τέτταρας.[ln_5]Β. ἔρρ’ ἐς κόρακας. βατράχοισιν οἰνοχοεῖν

book 4.3 σε δεῖ.

book 5.1 Ἄνδρες

book 5.2 πρόσσχετε τὸν νοῦν ἐξευρήματι καινῷ, συμπτύκτοις ἀναπαίστοις.

book 6-8 Ἀπαρτὶ μὲν οὖν ἐμοὶ μὲν εἰκός ἐστ’ ἐρᾶν, σοὶ δ’ οὐκέθ’ ὥρα. Ὑοσκυαμᾷς ἀνὴρ γέρων ὤν. Ὦ Ζεῦ πολυτίμητ’, ἆρ’ ἀκούεις ἅ με λέγει[ln_5]ὁ πανοῦργος υἱός;

book 10 Ἀδράφαξυν ἕψους’, εἶτ’ ὀκλὰξ καθημένη.

book 11 Κατάχεον αὐτῆς κἀνύδρευσαι τὸν κάδον.

book 12.1 Πᾶς δ’ ἀνὴρ ἔσαττε

book 12.2 τεῦχος ἢ κόϊκ’ ἢ κωρύκους.

book 13 Πάντως γάρ εἰσι τῶν φίλων ἑνός γέ του.

book 1.1 Ὦ δαιμόνιε, πύρεττε μηδὲν

book 1.2 φροντίσας, καὶ τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1.3 φιβάλεων
book 1.4 τρῶγε σύκων
book 1.5 τοῦ θέρους, κἀμπιπλάμενος κάθευδε τὰς μεσημβρίας, κᾆτα
book 1.6 σφακέλιζε καὶ πέπρησο καὶ βόα.
book 2.1 Τακεροὺς
book 2.2 ποιῆσαι
book 2.3 τοὺς ἐρεβίνθους αὐτόθι.
book 3.1 Ταῦτ’ ἔχων ἐν
book 3.2 ταῖς ὁδοῖς ἁρπαζέτω τὰς ἐγκρίδας.
book 4.1 Λήψει δ’ ἐν Ἅιδου κραπάταλον
book 4.2 τριωβόλου καὶ ψωθία.
book 5 [spk_β]Τίς τῶν λυχνείων ἡ ’ργασία; Β. Τυρρηνική.
book 6 Οὐδεὶς γὰρ ἐδέχετ’ οὐδ’ ἀνεῴγει μοι θύραν.
book 7.1 [spk_β]Τὶ δαί; τί σαυτὸν ἀποτίνειν τῷδ’ ἀξιοῖς; φράσον μοι. Β. ἀπαρτὶ δή που
book 7.2 προσλαβεῖν
book 7.3 παρὰ τοῦδ’ ἔγωγε μᾶλλον.
book 8-9.1 Ὅστις γ’ αὐτοῖς
book 8-9.2 παρέδωκα τέχνην μεγάλην ἐξοικοδομήσας Ὁ χορὸς δ’ αὐτοῖς εἶχεν δάπιδας ῥυπαρὰς καὶ στρωμα-[ln_2]τόδεσμα.
book 10 Ὦ δέσποτ’ Ἀγυιεῦ ταῦτα σὺ μέμνησό μοι.
book 12 Πρὸς τῇ κεφαλῇ μου λάσανα καταθεὶς πέρδεται.
book 13 [spk_β]Μάχαιραν ἆρ’ ἐνέθηκας; Β. οὔ. Α. τί μ’ εἴργασαι; ἀμάχαιρος ἐπὶ βόεια νοστήσω κρέα, ἀνὴρ γέρων, ἀνόδοντος;
book 15 Καὶ νωτοπλῆγα μὴ ταχέως διακονεῖν.
book 16.1 Τοῖς δὲ κριταῖς
book 16.2 τοῖς νυνὶ κρίνουσι λέγω, μὴ ’πιορκεῖν μηδ’ ἀδίκως κρίνειν, ἢ νὴ τὸν φίλιον[ln_5]μῦθον εἰς ὑμᾶς ἕτερον
book 16.3 Φερεκράτης λέξει
book 16.4 πολὺ τούτου κακηγορίστερον.
book 17 Τῶν θεατῶν δ’ οἷστισι δίψ’ ᾖ, λεπαστὴν λαψαμένοις μεστὴν ἐκχαρυβδίσαι.
book 18 Ζητῶ περιέρρων αὐτὸν ἐξ ἑωθινοῦ.
book 19 Ὡς ἄτοπόν ἐστι μητέρ’ εἶναι καὶ γυνήν.
book 1 Μίτραν ἁλουργῆ, στρόφιον, ὄχθοιβον, κτένα.
book 2.1 Εἶθ’ ἕτερα
book 2.2 τούτων
book 2.3 ποιοῦντα
book 2.4 πολλὰ κυντερώτερα.
book 3 Ὡς οὐχὶ τουτὶ ῥύγχος ἀτεχνῶς ἔσθ’ ὑός.
book 4.1 Ἀπὸ τηγάνου τ’ ἔφασκεν ἀφύας

book 4.2 φαγεῖν.

book 7.1 Λαβοῦσα μὲν τῆς

book 7.2 χοίνικος τὸν πύνδακ’ εἰσέκρουσεν.

book 8.1 Τὸ δ’ ὄνομά μοι κάτειπε τί σε

book 8.2 χρῆσθαι καλεῖν.

book 1.1 Πλούτῳ δ’ ἐκεῖν’ ἦν πάντα

book 1.2 συμπεφυρμένα, ἐν πᾶσιν ἀγαθοῖς πάντα

book 1.3 τρόπον εἰργασμένα· ποταμοὶ μὲν ἀθάρης καὶ μέλανος ζωμοῦ πλέῳ διὰ τῶν

book 1.4 στενωπῶν

book 1.5 τονθολυγοῦντες ἔρρεον αὐταῖσι μυστίλαισι, καὶ ναστῶν

book 1.6 τρύφη, ὥστ’ εὐμαρῆ γε καὐτομάτην τὴν ἔνθεσιν

book 1.7 χωρεῖν λιπαρὰν κατὰ τοῦ λάρυγγος

book 1.8 τοῖς νεκροῖς. φύσκαι δὲ καὶ ζέοντες ἀλλάντων τόμοι

book 1.9 παρὰ τοῖς

book 1.10 ποταμοῖς σίζοντ’ ἐκέχυντ’ ἀντ’ ὀστράκων.

book 1.1 καὶ μὴν

book 1.2 παρῆν

book 1.3 τεμάχη μὲν ἐξωπτημένα καταχυσματίοισι

book 1.4 παντοδαποῖσιν εὐπρεπῆ, τεύτλοισί τ’ ἐγχέλεια

book 1.5 συγκεκαλυμμένα. σχελίδες δ’ ὁλόκνημοι

book 1.6 πλησίον

book 1.7 τακερώταται ἐπὶ πινακίσκοις, καὶ δίεφθ’ ἀκροκώλια ἥδιστον ἀτμίζοντα, καὶ χόλικες βοός, καὶ πλευρὰ δελφάκει’ ἐπεξανθισμένα

book 1.8 χναυρότατα

book 1.9 παρέκειτ’ ἐπ’ ἀμύλοις καθήμενα. παρῆν δὲ χόνδρος γάλατι κατανενιμμένος ἐν καταχύτλοις λεκάναισι καὶ πύου τόμοι.

book 1.1 [spk_β]Β. Οἴμ’ ὡς ἀπολεῖς μ’ ἐνταῦθα διατρίβους’ ἔτι, παρὸν κολυμβᾶν ὡς ἔχετ’ εἰς τὸν Τάρταρον. Α. Τί δῆτα λέξεις τἀπίλοιπ’ ἥνπερ πύθῃ; ὀπταὶ κίχλαι δ’ ἐπὶ τοῖσδ’ ἀνάβραστ’ ἠρτυμέναι

book 1.2 περὶ τὸ στόμ’ ἐπέτοντ’ ἀντιβολοῦσαι καταπιεῖν, ὑπὸ μυρρίναισι κἀνεμώναις κεχυμέναι. τὰ δὲ μῆλ’ ἐκρέματο τὰ καλὰ τῶν καλῶν ἰδεῖν ὑπὲρ κεφαλῆς, ἐξ οὐδενὸς

book 1.3 πεφυκότα. κόραι δ’ ἐν ἀμπεχόναις

book 1.4 τριχάπτοις ἀρτίως ἡβυλλιῶσαι καὶ τὰ ῥόδα κεκαρμέναι πλήρεις κύλικας οἴνου μέλανος ἀνθοσμίου ἤντλουν διὰ χώνης

book 1.5 τοῖσι βουλομένοις

book 1.6 πιεῖν. καὶ τῶνδ’ ἕκαστος εἰ φάγοι

book 1.7 τις ἢ πίοι,

book 1 διπλάσι’ ἐγίγνετ’ εὐθὺς ἐξ ἀρχῆς πάλιν.

book 2.1 Ὑπ’ ἀναδενδράδων ἁπαλὰς ἀσπαλάθους

book 2.2 πατοῦντες ἐν λειμῶνι λωτοφόρῳ, κύπειρόν

book 2.3 τε δροσώδη, κἀνθρύσκου μαλακῶν τ’ ἴων λείμακα καὶ τριφύλλου.

book 2 Μηδέποτ’ ἰχθύν, ὦ Δευκαλίων, μηδ’ ἢν αἰτῶ παραθῇς μοι.

book 3 [spk_α]Α. Τί ληρεῖς; ἀλλὰ φωνὴν οὐκ ἔχειν ἰχθύν γέ φασι τὸ παράπαν. Β. νὴ τὼ θεώ, κοὐκ ἔστιν ἰχθὺς ἄλλος οὐδεὶς ἢ βόαξ.

book 4.1 Ἀλλ’ ὡς τάχιστα τὸν γέρονθ’ ἱστὸν

book 4.2 ποίει, ἀφ’ οὗ τὸ λίνον ἦν.

book 7-8 Γελῶντα καὶ χαίροντα καὶ τεθολωμένον. Ὑπὸ τῆς ἀνίας ἀνεθολοῦθ’ ἡ καρδία.

book 9 Οἴμοι κακοδαίμων, αἰγὶς αἰγὶς ἔρχεται.

book 10 Ὕστερον ἀρᾶται κἀπιθεάζει τῷ πατρί.

book 11 Ξένη γυνὴ γραῦς ἀρτίως ἀφιγμένη.

book 1.1 Τίς δ’ ἔσθ’ ἡμῖν τῶν σῶν ἀροτῶν ἢ ζυγοποιῶν ἔτι[ln_1]χρεία, ἢ δρεπανουργῶν ἢ χαλκοτύπων ἢ σπέρματος ἢ χαρα-[ln_2]κισμοῦ; αὐτόματοι γὰρ διὰ τῶν

book 1.2 τριόδων

book 1.3 ποταμοὶ λιπαροῖς ἐπι-[ln_3]πάστοις ζωμοῦ μέλανος καὶ Ἀχιλλείοις μάζαις κοχυδοῦντες ἐπι-[ln_4]βλύξ[ln_5]ἀπὸ τῶν

book 1.4 πηγῶν τῶν

book 1.5 τοῦ Πλούτου ῥεύσονται, σφῶν[ln_5]ἀρύτεσθαι. ὁ Ζεὺς δ’ ὕων οἴνῳ καπνίᾳ κατὰ τοῦ κεράμου βαλα-[ln_6]νεύσει, ἀπὸ τῶν δὲ τεγῶν ὀχετοὶ βοτρύων μετὰ ναστίσκων

book 1.6 πο-[ln_7]λυτύρων ὀχετεύσονται θερμῷ σὺν ἔτνει καὶ λειριοπολφανεμώναις. τὰ δὲ δὴ δένδρη τἀν

book 1.7 τοῖς ὄρεσιν

book 1.8 χορδαῖς ὀπταῖς ἐρι-[ln_9]φείοις[ln_10]φυλλοροήσει, καὶ τευθιδίοις ἁπαλοῖς κίχλαις τ’ ἀνα-[ln_10]βράστοις.

book 2.1 Ὦ μαλάχας μὲν ἐξερῶν ἀναπνέων δ’ ὑάκινθον, καὶ μελιλώτινον λαλῶν καὶ ῥόδα

book 2.2 προσσεσηρώς· ὦ φιλῶν μὲν ἀμάρακον, προσκινῶν δὲ σέλινα, γελῶν δ’ ἱπποσέλινα καὶ κοσμοσάνδαλα βαίνων,[ln_5]ἔγχει κἀπιβόα

book 2.3 τρίτον

book 2.4 παιῶν’, ὡς νόμος ἐστίν.

book 3.1 Ἦν δ’ ἡμῶν σῦκόν

book 3.2 τις ἴδῃ διὰ χρόνου νέον

book 3.3 ποτέ, τὠφθαλμὼ τούτῳ περιμάττομεν τὼ τῶν

book 3.4 παιδίων.

book 4.1 Ἐπὶ τηγάνοις καθίσανθ’ ὑφάπτειν

book 4.2 τοῦ φλέω.

book 5.1 Στεφάνους

book 5.2 τε πᾶσι κὠμφαλωτὰς

book 5.3 χρυσίδας.

book 6.1 Οὗτος σύ, ποῖ τὴν ἀργυρίδα

book 6.2

τηνδὶ φέρεις;

book 7.1 Τὸ παιδίον, τὸ πολλαγόρασον κἀπὸ πολλῶν

book 7.2 τηλιῶν.

book 1 [spk_β]Οὗτος πόθεν ἦλθες; Β. εἰς Κολωνὸν ἱέμην, οὐ τὸν ἀγοραῖον, ἀλλὰ τὸν τῶν ἱππέων.

book 2 Ἀλλ' ὦ περιστέριον ὅμοιον Κλεισθένει, πέτου, κόμισον δέ μ' εἰς Κύθηρα καὶ Κύπρον.

book 5.1 Κἀκ

book 5.2 πιθῶνος ἤρυσαν ἄκρατον.

book 6 Παίειν με τύπτειν λακπατεῖν ὠθεῖν δάκνειν.

book 7 Πρόσαιρε τὸ κανοῦν, εἰ δὲ βούλει, πρόσφερε.

book 1.1 Εἶτ' ἐκεραμεύσαντο

book 1.2 τοῖς μὲν ἀνδράσιν

book 1.3 ποτήρια

book 1.4 πλατέα, τοίχους οὐκ ἔχοντ', ἀλλ' αὐτὸ τοὔδαφος μόνον, κοὐχὶ χωροῦντ' οὐδὲ κόγχην, ἐμφερῆ γευστηρίοις· σφίσι δέ γ' αὐταῖσιν βαθείας κύλικας ὥσπερ ὁλκάδας οἰναγωγούς, περιφερεῖς, λεπτάς, μέσας γαστροιίδας, οὐκ ἀβούλως, ἀλλὰ πόρρωθεν κατεσκευασμέναι αὔθ', ὅπως ἀνεκλογίστως

book 1.5 πλεῖστος οἶνος ἐκποθῇ. εἶθ' ὅταν τὸν οἶνον αὐτὰς αἰτιώμεθ' ἐκπιεῖν, λοιδοροῦνται, κὠμνύουσι μὴ 'κπιεῖν ἀλλ' ἢ μίαν.

book 1.1 ἡ δὲ κρείττων ἡ μί' ἐστὶ χιλίων

book 1.2 ποτηρίων.

book 2.1 Κἄπειθ' ἵνα μὴ πρὸς

book 2.2 τοῖσι βωμοῖς

book 2.3 πανταχοῦ ἀεὶ λοχῶντες βωμολόχοι καλώμεθα, ἐποίησεν ὁ Ζεὺς καπνοδόκην μεγάλην πάνυ.

book 3.1 Ἆρ' ἀράχνι' ὥσπερ

book 3.2 ταῖς

book 3.3 σιπύαισι

book 3.4 ταῖς κεναῖς.

book 1.1 Λέξω μὲν οὐκ ἄκουσα, σοί τε γὰρ κλύειν ἐμοί τε λέξαι θυμὸς ἡδονὴν ἔχει. ἐμοὶ γὰρ ἦρξε τῶν κακῶν Μελανιππίδης ἐν

book 1.2 τοῖσι

book 1.3 πρώτοις, ὃς λαβὼν ἀνῆκέ με, χαλαρωτέραν τ' ἐποίησε

book 1.4 χορδαῖς δώδεκα. ἀλλ' οὖν ὅμως οὗτος μὲν ἦν ἀποχρῶν ἀνὴρ ἔμοιγε

book 1.5 πρὸς τὰ νῦν κακά. Κινησίας δὲ ὁ κατάρατος Ἀττικός, ἐξαρμονίους καμπὰς

book 1.6 ποιῶν ἐν

book 1.7 ταῖς

book 1.8 στροφαῖς, ἀπολώλεκέ μ' οὕτως, ὥστε τῆς

book 1.9 ποιήσεως τῶν διθυράμβων, καθάπερ ἐν

book 1.10 ταῖς ἀσπίσιν, ἀριστέρ' αὐτοῦ φαίνεται τὰ δεξιά. ἀλλ' οὐκ ἂν εἴποις οὕτως ἦν ὅμως ὅμως. Φρύνης δ' ἴδιον

book 1.11

Eulogikon public reading copy · View original HTML at eulogikon.org

στρόβιλον ἐμβαλὼν

book 1.12 τινά,

book 1.1 κάμπτων με καὶ στρέφων ὅλην διέφθορεν, ἐν πέντε

book 1.2 χορδαῖς δώδεχ’ ἁρμονίας ἔχων. ἀλλ’ οὖν ἔμοι γε

book 1.3 χοὖτος ἦν ἀποχρῶν ἀνήρ, εἰ γάρ

book 1.4 τι κἀξήμαρτεν αὖθις ἀνέλαβεν. ὁ δὲ Τιμόθεός μ’, ὦ φιλτάτη, κατορώρυχεν,

book 1.1 [spk_δ]καὶ διακέκναικ’ αἴσχιστα. Δ. Ποῖος οὑτοσὶ Τιμόθεος; Μ. Μιλήσιός

book 1.2 τις

book 1.3 Πυρρίας κακά μοι

book 1.4 παρέσχεν· οὗτος ἅπαντας οὓς λέγω

book 1.5 παρελήλυθ’ ἄγων ἐκτραπέλους μυρμηκίας. κἂν ἐντύχῃ πού μοι βαδιζούσῃ μόνῃ,ἀπέλυσε κἀνέλυσε

book 1.6 χορδαῖς δώδεκα.

book 2.1 Μηδὲ σύγ’ ἄνδρα φίλον καλέσας ἐπὶ δαῖτα θάλειαν ἄχθου ὁρῶν

book 2.2 παρεόντα· κακὸς γὰρ ἀνὴρ τόδε ῥέζει· ἀλλὰ μάλ’ εὔκηλος τέρπου

book 2.3 φρένα τέρπε τ’ ἐκεῖνον.

book 3.1 Ἡμῶν δ’ ἤν

book 3.2 τινά τις καλέσῃ θύων ἐπὶ δεῖπνον, ἀχθόμεθ’ ἢν ἔλθῃ καὶ ὑποβλέπομεν

book 3.3 παρεόντα, χὤττι τάχιστα θύρας ἐξελθεῖν βουλόμεθ’ αὐτόν. εἶτα γνούς

book 3.4 πως

book 3.5 τοῦθ’ ὑποδεῖται, κᾆτά τις εἶπεντῶν ξυμπινόντων, Ἤδη σύ; τί οὐχ ὑποπίνεις; οὐχ ὑπολύσεις

book 3.6 σαυτόν; ὁ δ’ ἄχθεται αὐτὸς ὁ θύων τῷ κατακωλύοντι καὶ εὐθὺς ἔλεξ’ ἐλεγεῖα „Μηδένα μήτ’ ἀέκοντα μένειν κατέρυκε

book 3.7 παρ’ ἡμῖν μήθ’ εὕδοντ’ ἐπέγειρε, Σιμωνίδη“. οὐ γὰρ ἐπ’ οἴνοιςτοιαυτὶ λέγομεν δειπνίζοντες φίλον ἄνδρα;

book 4 Νὴ τὸν Δί’, ὥσπερ αἱ παροψίδες τὴν αἰτίαν ἔχους’ ἀπὸ τῶν ἡδυσμάτων, οὓς ὁ Καλέτας ἀξιοῖ τοῦ μηδενός.

book 5.1 Ἔξεισιν ἄκων δεῦρο πέρδικος

book 5.2 τρόπον.

book 6 Ἀμυγδάλας καὶ μῆλα καὶ μιμαίκυλα, καὶ μύρτα καὶ σέλινα κἀξ οἴνου βότρυς, καὶ μυελόν.

book 7.1 Εἰκῆ μ’ ἐπῆρας ὄντα

book 7.2 τηλικουτονί πολλοῖς ἐμαυτὸν ἐγκυλῖσαι

book 7.3 πράγμασιν. ἐγὼ γὰρ ὦνδρες ἡνίκ’ ἦ νεώτερος, ἐδόκουν μὲν ἐφρόνουν δ’ οὐδέν, ἀλλὰ πάντα μοικατὰ χειρὸς ἦν τὰ πράγματ’ ἐνθυμουμένῳ· νῦν δ’ ἄρτι μοι τὸ γῆρας ἐντίθησι νοῦν, καὶ κατὰ μίτον τὰ πράγματ’ ἐκλογίζομαι.

book 8 Δώσει δέ σοι γυναῖκας ἑπτὰ Λεσβίδας.

book 8 [spk_β]Β. καλόν γε δῶρον ἕπτ’ ἔχειν λαικαστρίας.

book 1.1 Εἴποι

book 1.2

τις ἂν τῶν πάνυ δοκησιδεξίων· ἐγὼ δ’ ἂν ἀντείποιμι, μὴ πολυπραγμόνει, ἀλλ’ εἰ δοκεῖ σοι

book 1.3 πρόσεχε τὸν νοῦν κἀκροῶ.

book 2.1 Τρώγων ἐρεβίνθους ἀπεπνίγη

book 2.2 πεφρυγμένους.

book 3.1 Ῥαφανίς τ’ ἄπλυτος ὑπάρχει, καὶ θερμὰ λουτρὰ καὶ ταρίχη

book 3.2 πνικτὰ καὶ καρύκη.

book 4 Ἀνεμολύνθη τὴν ὑπήνην τῷ γάρῳ.

book 5 Οὐκ ὢν ἀνὴρ γὰρ Ἀλκιβιάδης, ὡς δοκεῖ, ἀνὴρ ἁπασῶν τῶν γυναικῶν ἐστι νῦν.

book 6 Ὑπὸ τῆς ἀπληστίας διακόνιον ἔπησθεν ἀμφιφῶντ’ ἔχων.

book 7.1 Ἥνπερ

book 7.2 φρονῇς εὖ φεῦγε τὴν Βοιωτίαν.

book 8.1 Ὁ λαγώς με βασκαίνει

book 8.2 τεθνηκώς.

book 14.1 Τὴν γαστέρ’ ᾔων κἀχύρων

book 14.2 σεσαγμένος.

book 16.1 Ἡγούμεθα τῆς πόλεως εἶναι

book 16.2 ταύτας

book 16.3 σωτῆρας.

book 18.1 Νῦν δ’ ἐπιχεῖσθαι τὰς κριθὰς δεῖ, πτίσσειν, φρύγειν,[ln_1]ἀναβράττειν, αἵνειν, ἀλέσαι, μᾶξαι, πέψαι, τὸ τελευταῖον

book 18.2 παραθεῖναι.

book 20.1 [spk_β]Τί δ’ ἔπαθες; Β. ἄγρυκτα κἄλεκτ’, ἀλλὰ βούλομαι μόνῃ αὐτῇ φράσαι

book 20.2 σοι.

book 23 Ὕβριστον ἔργον καὶ κόβαλον εἰργάσω.

book 25.1 Καὶ τὰς βαλάνους καὶ τὰς ἀκύλους καὶ τὰς ἀχράδας

book 25.2 πε-[ln_1]ριόντας.

book 30 Ἀτόπως καθίζων κοὐδὲ γιγνώσκειν δοκῶν.

book 31 Ἵν’ ἀφυπνισθῆτ’ οὖν ἀκροᾶσθ’, ἤδη γὰρ καὶ λέξομεν.

book 32 Ἢ τῆς ἀχέρδου τῆς ἀκραχολωτάτης.

book 33.1 [spk_β]Ποῖ κῆχος; Β. ἐγγύς, ἡμερῶν γε

book 33.2 τεττάρων.

book 34.1 Βριθομένης ἀγαθῶν ἐπίμεστα

book 34.2 τραπέζης.

book 42 Ἀεί ποθ’ ἡμῖν ἐγκιλικίζους’ οἱ θεοί.

book 44 Ληκούμεσθ’ ὅλην τὴν νύκτα.

book 51.1 Ἀρκεῖ μία

book 51.2 σκόνυζα καὶ θύμω δύο.

book 55.1 Ὁ δὲ παῖδα καλεῖ καὶ τευτάζει

book 55.2 τούτῳ δεῖπνον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 55.3 παραθεῖναι.

book 67 Ὦ ξανθοτάτοις βοτρύχοισι κομῶν.

book 78 Μηδὲν κοτυλίζειν, ἀλλὰ καταπάττειν χύδην.

book 80 Τουτὶ τί ἐστιν; ὡς ἀνεκὰς τὸ κρίβανον.

book 84 Ἀδώνι’ ἄγομεν καὶ τὸν Ἄδωνιν κλᾴομεν.

book 87.1 Ὑπέλυσε δήμαρχός

book 87.2 τις ἐλθὼν εἰς

book 87.3 χορόν.

book 88.1 Ὦ γῆρας, ὡς ἐπαχθὲς ἀνθρώποισιν εἶ καὶ πανταχῆ λυπηρόν, οὐ καθ’ ἓν μόνον. ἐν ᾧ γὰρ οὐδὲν δυνάμεθ’ οὐδ’ ἰσχύομεν, σὺ τηνικαῦθ’ ἡμᾶς

book 88.2 προδιδάσκεις εὖ φρονεῖν.

book 89.1 Ἀβυρτάκην

book 89.2 τρίψαντα καὶ Λυδίαν καρύκην.

book 90.1 Σκέψαι δέ μου τὸ μέτωπον εἰ θέρμην ἔχουσα

book 90.2 τυγχάνω.

book 91-92.1 Δεῖπνον

book 91-92.2 παρασκεύαζε, σὺ δὲ καθίζανε.

book 93.1 [spk_β]Πότε σὺ ἤκουσας αὐτοῦ; Β. πρωπέρυσιν ἔτος

book 93.2 τρίτον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org